κρατοῦντες τὸ διὰ τῶν ἁγίων οἰκουμενικῶν Συνόδων κυρωθὲν ἅγιον Σύμβολον, κἂν ὑφ᾽ ὑμῶν καὶ ἑτέρων ἐθνῶν τυραννούμεθα. Θαῦμα δ᾽ οὐδὲν, εἴπερ ἡμᾶς οὐ μέμφεσθε τῆς πίστεως, μηδὲν ἔχοντες ἐγκαλεῖν· ὅπου γε καὶ μονοφυσίτας καὶ λοιποὺς αἱρετικοὺς ἀνέκαθεν παρὰ τῶν ἁγίων Πατέρων ἀφορισθέντας, ὑμεῖς ἀποδέχεσθε, καὶ οὐδὲν διαφέρειν φάσκετε χριστιανὸν χριστιανοῦ.

Ἰταλ. Ἔοικεν ἀγνοεῖν σε τὴν ἐν Φλωρεντίᾳ γενομένην οἰκουμενικὴν σύνοδον· ἥτις διὰ τοιαύτας φιλονεικίας συναθροισθεῖσα, καὶ ἀκριβῶς ἐξετάσασα τῶν μερῶν ἀμφοτέρων τὴν γνώμην, οὐδὲν πρὸς τὴν ὀρθὴν πίστιν εὗρε διαφερομένους· διά τοι τοῦτο καὶ τὴν προσθήκην οἰκείως ἔχειν ἀποφήνασα τὰς τοιαύτας στάσεις καὶ τὰ σχίσματα ἔπαυσεν.

Γραικ. Οὐδὲν θαυμαστὸν τὴν τοιαύτην σύνοδον ὡς ἄθεσμον, ἣ καὶ ὑφ᾽ ἑαυτῆς ἀνατραπεῖσαν, ἀγνοεῖν· καὶ γὰρ τοιαῦται πολλαὶ γεγόνασι κατὰ διαφόρους καιροὺς, ἃς ὀλίγοι τινὲς ἴσασι τῶν φιλολόγων· διότι εἰς ἀνατροπὴν τῆς ὀρθοδόξου Πίστεως ἐδογμάτισαν. Τὰς δὲ ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ Συνόδους, ἀλλὰ δὴ καὶ τὰς τοπικὰς, αἵτινες εἰς σύστασιν τῆς ἁγίας συνῆλθον ἐκκλησίας, πάντες ἴσμεν, καὶ ἀσπαζόμεθα καὶ ἀποδεχόμεθα.

Ἰταλ. Οὐκ ἄρα καὶ αὕτη εἰς σύστασιν τῆς ἁγίας ἐκκλησίας συνηθροίσθη, ἀλλ᾽ εἰς ἀνατροπὴν, καὶ μᾶλλον ἑαυτῆς;

Ῥωμ. Οὕτως ἔχει· καὶ ὅπως, ἐξετάσωμεν. Πάντως αἱ τοιαῦται τῶν Πατέρων Σύνοδοι γίνονται, οὐχ ἵνα τὰ προεξετασθέντα θεωρήσωσιν, ἀλλ᾽ ἵνα τὰ νεωστὶ ἀναφυέντα δόγματα παύσωσι, καὶ κυρώσωσι τὴν ἐκ τῶν ἁγίων Ἀποστόλων παραδοθεῖσαν πίστιν, ἢ οὔ;